Εἰ τὸν φίλον ἔλειπες, αἰσχύνην οὐκ ἂν ἔφευγες —
Kdybys (byl) opouštěl přítele, neunikal bys (nebyl bys unikal) hanbě.
Εἰ τὸν φίλον ἔλιπες, αἰσχύνην οὐκ ἂν ἔφυγες —
Kdybys (byl) opustil přítele, neunikl bys (nebyl bys unikl) hanbě.

Konjunktiv rozvažovací (deliberativus § 373.2): v 1. os. sg. nebo pl.,

ποῖ φεύγω; kam (mám) utíkat?
ποῖ φεύγωμεν; kam (máme) utíkat?
ποῖ φύγωμεν; kam (máme) utéci?

Srovnejte: prvky halové, biolog, -ie, -ický, biograf, -ie, autobiografie, rétorika, -ický, martyrium (*μάρτυς* — později mučedník).

Otázky a úkoly.

1. Skloňujte písemně jen v sg.: τὸ καλὸν ἦρ. — 2. Vyjádřete 9. větu v sg.! — 3. Utvořte 1. osobu futura a aoristu od sloves: λείπω, φεύγω, τρέπομαι, καταλείπω, ἄγω, προσάγω.

22.

III. dekl.: dokončení kmenů plynných -λ, -ρ § 108.5.

Ὁ πατὴρ ὑπὸ τῶν παίδων στέργεται.
Τοῦ πατρὸς βουλὴ ἀγαθή ἐστιν.
Τῷ πατρὶ πείθεσθε, ὦ παῖδες!
Τὸν πατέρα ἀεὶ στέργομεν.
Ὦ πάτερ, σῷζε τοὺς παῖδας! (Všimněte si přízvuku!)

Οἱ πατέρες τοὺς παῖδας παιδεύουσιν.
Ταῖς τῶν πατέρων βουλαῖς πειθόμεθα.
Τοῖς πατράσι πιστεύομεν.
Τοὺς πατέρας δεῖ στέργεσθαι ὑπὸ τῶν παίδων.
Ὦ πατέρες, δεῖ συμβουλεύειν τοῖς νέοις!

1. *Πόνος ἐστίν, ὡς λέγουσιν, εὐκλείας πατήρ.* 2. *Οἱ ἀγαθοὶ παῖδες ἀεὶ χάριν ἔχουσι τοῖς πατράσι καὶ ταῖς μητράσιν.* 3. *Περσεφόνη ἦν Δήμητρος θυγάτηρ.* 4. *Ὦ θύγατερ, πείθου τῇ μητρί!* 5. *Τὴν πατρίδα πάντων τῶν πολιτῶν μητέρα ὀνομάζομεν.* 6. *Χεὶρ χεῖρα νίζει.* 7. *Αἱ μὲν χεῖρες τὴν γαστέρα τρέφουσιν, ἡ δὲ γαστὴρ πᾶν τὸ σῶμα.* 8. *Τῇ γαστρὶ μὴ δούλευε!* 9. *Ἀγαθῶν ἀνδρῶν καὶ ἔργα ἀγαθά.* 10. *Ἦν ποτε πόλεμος ταῖς γυναιξὶ πρὸς τοὺς ἄνδρας.* 11. *Ὦ ἄνδρες, τοὺς συμμάχους ἐν μάχῃ μὴ καταλίπητε!*

ὁ πατήρ, πατρός otec
ἡ εὐκλεια, ας sláva
χάριν ἔχω (s dat.) jsem vděčen, chovám vděčnost
ἡ μήτηρ, μητρός matka
ἡ Περσεφόνη, ης Persefona, manželka Hádova
ἡ Δημήτηρ, Δήμητρος Démétér, bohyně úrody
ἡ θυγάτηρ, θυγατρός dcera
ἡ χείρ, χειρός ruka (dat. pl. *χερσίν*)
νίζω myji
ἡ γαστήρ, γαστρός žaludek
δουλεύω otročím, sloužím
ὁ ἀνήρ, ἀνδρός muž
ποτέ (adv.) kdysi, jednou
πρός (s ak.) proti

Věty rozkazovací § 371.2.3.

1. Rozkaz vyjadřujeme imperativem:

λεῖπε! opouštěj!
λίπε! opusť!
λείπετε! opouštějte!
λίπετε! opusťte!

2. Zákaz: v praesentu *μή* + imperativ (děj nedokonavý).
v aoristu *μή* + konj. zabraňovací (děj dokonavý).

μὴ λεῖπε! neopouštěj!
μὴ λίπῃς! neopusť!
μὴ λείπετε! neopouštějte!
μὴ λίπητε! neopusťte!

Srovnejte: patriarcha, -át, chirurg (*ἔργον*), chiromantie, gastronom, gastrický (-á nemoc).

Otázky a úkoly.

1. Skloňujte: ἡ φίλη μήτηρ. — 2. Převeďte 7. větu do passiva! — 3. Užijte v 11. větě děje nedokonavého! — 4. Vyjádřete 4. a 6. větu v plurálu! — 5. Proč je v 9. větě vynecháno sloveso, a které?

23.

Opakování II.

Περὶ τῆς Ἀλεξάνδρου ἐγκρατείας.

Ἀλέξανδρος ὅτε σὺν τῇ στρατιᾷ δι' ἀνύδρου χώρας ἐπορεύετο, ἐπιέζετο ὑπὸ δίψης· ἐπιέζοντο δὲ καὶ οἱ στρατιῶται. Ἔνθα δή ἔνιοι τῶν γυμνήτων κόρυν μεστὴν ὕδατος Ἀλεξάνδρῳ προσφέρουσιν. Ὁ δὲ λαμβάνει μὲν τὸ ὕδωρ, μόνος δὲ τοῦ ὕδατος ἀπολαύειν οὐ βούλεται. Ἀνατρέπει οὖν τὴν κόρυν. Πᾶσα δ' ἡ στρατιὰ γιγνώσκει τὴν ἐγκράτειαν τοῦ στρατηγοῦ καὶ

κελεύει ἄγειν· οὔτε γὰρ πόνος οὔτε δίψα οὔτε θάνατος ταράττει τὴν στρατιάν, ἣ ἔχει στρατηγὸν οὕτω σοφόν.

ἡ ἐγκράτεια, ας zdrželivost, střídmost
ὅτε když
σύν (s dat.) s, se
διά (s gen.) skrze
ἄνυδρος 2 bez vody
στενόω tísním, soužím
ἡ δίψα, ης žízeň
ἔνθα δή tu tedy
μεστός 3 plný
προσ-φέρω přinášim
ὁ δέ ten pak, a on
λαμβάνω beru, přijímám
μόνος 3 jediný, samotný
ἀπο-λαύω (s gen.) okouším, požívám
βούλομαι (2. sg. *βούλει*) chci
ἀνα-τρέπω obracím, převracím
γιγνώσκω poznávám
οὔτε — οὔτε ani — ani
κελεύω poroučím, vybízím
ταράττω znepokojuji, děsím
οὕτω(ς) tak

Srovnejte: monarchie, monarcha, monografie, monogram, monolog, monismus, monotheismus, monolit (*ὁ λίθος* kámen), diagnosa, gnostika, gnostický, ataraxie.

24.

1. Stupňování adjektiv I. a II. deklinace § 134; 135.1; 136.1.

2. Stupňování adverbií adjektivních § 141; 142.

3. Zájmena ukazovací, zájmeno 3. osoby, ἄλλος § 153, 154, 155, 145, 148 pozn.

1. *Positiv*	*komparativ*	*superlativ*
δίκαιος spravedlivý	*δικαιό-τερος, -τέρα, -τερον* spravedlivější	*δικαιό-τατος, -τάτη, -τατον* nejspravedlivější
ale *νέος* nový	*νεώ-τερος*	*νεώ-τατος*

Někdy se kmenové **ο** vysouvá:

φίλος milý	*φίλ-τερος*	*φίλ-τατος*

2. Stupňování adverbií (o tvoření *positivu* adv. viz cv. 8.)·

Σπουδαίως ἐργαζόμεθα, ἀλλ' ἔτι σπουδαιότερον δεῖ ἐργάζεσθαι· δεῖ ὡς (ὅτι) σπουδαιότατα ἐργάζεσθαι.

Komparativ adv. = akusativu **sg.** komparativu neutra,
superlativ adv. = akusativu **pl.** superlativu neutra.

3. Zájmena ukazovací:

ὅδε, ἥδε, τόδε tento		(o přítomném n. následujícím)
οὗτος, αὕτη, τοῦτο tento, ten		(o předešlém, již řečeném)
ἐκεῖνος, ἐκείνη, ἐκεῖνο onen		(o vzdáleném)

Zájmeno neurčité: *ἄλλος, ἄλλη, ἄλλο* jiný

Ὅδε *ὁ νεανίας σπουδαιότατός ἐστιν·* **οὗτος** *(ὁ νεανίας) ἐπαίνου ἄξιός ἐστιν. Ὁ* **τούτου** *πατὴρ χαίρει.*

Ἥδε *ἡ ὁδὸς καλή ἐστιν·* **ταύτην** *(τὴν ὁδὸν) πορευώμεθα, μηδ'* **ἄλλην.**

Τόδε *τὸ φάρμακον ὠφελιμώτερόν ἐστιν·* **τοῦτο** *(τὸ φάρμακον) πίνειν ἐθέλομεν, οὐκ* **ἐκεῖνο** *(τὸ φάρμακον).*

Zájmeno *αὐτός, αὐτή, αὐτό*:

ὁ ἵππος **αὐτοῦ**	**αὐτὸς ὁ** *πατήρ (ὁ πατὴρ* **αὐτός**)	**ὁ αὐτὸς** *μισθός*
jeho kůň	otec **sám**	**táž** mzda

τοσόσδε, τοσήδε, τοσόνδε		tak veliký (v pl.: tolik)
ὅσος, ὅση, ὅσον		jak veliký (v pl.: kolik, co)

οἱ ἄλλοι, αἱ ἄλλαι, τὰ ἄλλα ostatní

Ἄλλος ἄλλα λέγει. **Každý** mluví **jiné** (věci).

Οἵδε οἱ ἄνδρες καλῶς ἐργάζονται· τὰ ἔργα **αὐτῶν** *βέβαιά ἐστιν, πάντες θαυμάζουσιν* **αὐτά.**

Αὐτὸς ὁ *πόλεμος (ὁ πόλεμος* **αὐτός**) *φοβερώτατός ἐστιν·* **αὐτοὶ** *σὺν* **τοῖς ἄλλοις** *ἀποτρέπωμεν* **αὐτόν!**

Οὐ πᾶσιν **ὁ αὐτὸς** *μισθός ἐστιν·* **ἄλλος ἄλλον** *λαμβάνει. Ἕκαστος* **τοσόνδε, ὅσου** *ἄξιός ἐστιν.*

1. *Οὐκ ἔστιν σοφίας κτῆμα τιμιώτερον.* 2. *Πασῶν τῶν γυναικῶν ἡ μήτηρ τοῖς τέκνοις τιμιωτάτη ἐστίν.* 3. *Ἔργα λόγων χαλεπώτερα.* 4. *Ὦτα ὀφθαλμῶν ἀπιστότερα.* 5. *Ἡ ἀκράτεια βλαβερωτέρα ἐστὶ τῶν ἄλλων κακῶν (ἢ τὰ ἄλλα κακά).* 6. *Ἑκόντες πειθώμεθα ταῖς τῶν ἐμπειροτέρων καὶ σοφωτέρων βουλαῖς.* 7. *Ὦ παῖδες, ἡδονὰς βλαβερὰς ὡς σπουδαιότατα φεύγετε· αὐταὶ γὰρ τὰ κακὰ τίκτουσιν.* 8. *Κῦρος ὁ νεώτερος τῷ ἀδελφῷ ἰσχυρότατα ἐπεβούλευεν· ἔμελλε γὰρ αὐτὸς ἀντ' ἐκείνου τῆς τῶν Περσῶν ἀρχῆς βασιλεύσειν.* 9. *Αὐτὸ τὸ τῶν ἡμετέρων*

προγόνων ὄνομα τοῖς πολεμίοις φόβον ἐνέβαλλεν. 10. *Τούτων αἰτία ἦδε ἡ γυνή.* 11. *Πάντες ταὐτὰ* (= *τὰ αὐτὰ*) *λέγουσιν, ἄλλος ἄλλον τρόπον.* 12. *Τὸ λέγειν καὶ τὸ πράττειν οὐ ταὐτό* (= *τὸ αὐτό*) *ἐστιν.*

Ὁ ἀνὴρ ἐμπειρότερός ἐστι { *τοῦ νεανίου* ... zkušenější mladíka / *ἢ ὁ νεανίας* ... zkušenější než mladík (gen. srovnávací § 335.1)

ὁ ἀνὴρ ἐμπειρότερός ἐστιν 1. je zkušenější 2. je příliš, dosti, nadmíru zkušený

Ἀρετὴ τιμιωτάτη ἐστὶ πάντων τῶν χρημάτων ... je nejvzácnější ze všech statků, nad všechny statky (gen. celkový § 330.7)

ἀρετὴ τιμιωτάτη ἐστίν 1. je nejvzácnější 2. je velmi (velice) vzácná, převzácná

σπουδαῖος 3 horlivý, snaživý
ἐργάζομαι pracuji
ὡς, ὅτι (u superlativu) co
ὅδε, ἥδε, τόδε tento
οὗτος, αὕτη, τοῦτο ten
ἐκεῖνος, ἐκείνη, ἐκεῖνο onen
ὁ ἔπαινος, ου chvála
ἄξιος 3 hodný (něčeho)
μηδέ (před samohl. *μηδ'*) a ne
τὸ φάρμακον, ου lék
ὠφέλιμος 2. 3 prospěšný
ἐθέλω chci
αὐτός, αὐτή, αὐτό sám
ὁ αὐτός, ἡ αὐτή (*αὐτή*), *τὸ αὐτό* (*ταὐτό*) týž
ἄλλος, ἄλλη, ἄλλο jiný
οἱ ἄλλοι, αἱ ἄλλαι, τὰ ἄλλα ostatní
τοσόσδε, τοσήδε, τοσόνδε tak veliký (v pl. tolik)
ὅσος, ὅση, ὅσον jak veliký (v pl. kolik)
φοβερός 3 hrozný, strašný
λαμβάνω dostávám
ἕκαστος 3 každý
ἡ σοφία, ας moudrost
τὸ κτῆμα, ατος statek
ὁ ὀφθαλμός, οῦ oko
ἄπιστος 2 nespolehlivý
ἡ ἀκράτεια, ας nestřídmost
βλαβερός 3 škodlivý
ἤ než
ἑκών, ἑκοῦσα, ἑκόν rád
ἐπι-βουλεύω strojím úklady
ἡ ἡδονή, ῆς rozkoš
ὁ Κῦρος, ου Kýros, perský princ
ἀντί (před samohl. *ἀντ'*) předl. s gen. místo, proti
βασιλεύω (s gen.) kraluji, vládnu
τὸ ὄνομα, ατος jméno
οἱ πρό-γονοι, ων předkové
ὁ φόβος, ου strach
ἐμ-βάλλω φόβον nahánim strach
ὁ τρόπος, ου způsob; *ἄλλον τρόπον* jiným způsobem

Pozn. V. 1. Pozorujte přízvuk: *οὐκ* **ἔστιν***!* — V. 8. Po *μέλλω* obyč. inf. fut. — V. 12. Člen zpodstatňuje infinitiv; překládáme buď infinitivem nebo subst. slovesným.

Srovnejte: farmakologie, farmacie, ofthalmolog, ofthalmologie, automat, autonomie, auto-(mobil), autobiografie, tautologie, antikrist, anti-(fašista), antarktida, antinomie, hédonik, hédonista, hédonismus, anthropofobie, synonymum, patronymikon, tropus, tropy, tropický.

Otázky a úkoly.

1. Které sloveso je vynecháno v 3. a 4. větě, a proč? — 2. Stupňujte adjektiva φρόνιμος, βέβαιος, χαλεπός, ἄπιστος! — 3. Utvořte od nich adverbia a stupňujte je! — 4. Přeložte: „Mladší jsou silnější než starci, tito však jsou zkušenější než oni.“ — 5. Skloňujte písemně: ὅδε ὁ νεανίας, ἥδε ἡ γυνή! — 6. Který je troji význam zájmena αὐτός a jak se pozná?

25.

Zájmena osobní, zvratná, přivlastňovací, vespolné.

§ 143, 144, 146, 147, 148.

Ἐγὼ *πρὸς τὸν φίλον ἔλεγον· „Μετ’* **ἐμοῦ** *ἐργάζου,* **ἐμοὶ** *πίστευε,* **ἐμὲ** *στέργε!“*

*Ἔλεγεν ὁ φίλος πρὸς ἐμέ· „***Σὺ** *μοι φίλος ἴσθι, μετὰ* **σοῦ** *ἐκὼν ἐργάζομαι,* **σοὶ** *πιστεύω,* **σὲ** *στέργω.“*

Dosaďte do obou vět zájmeno 1. a 2. os. pl.:

nom. *ἡμεῖς* my	gen. *ἡμῶν*	dat. *ἡμῖν*	ak. *ἡμᾶς*
ὑμεῖς vy	*ὑμῶν*	*ὑμῖν*	*ὑμᾶς*

Ὁ πατὴρ ἐπιμέλεταί

μου	*ἐγὼ ἐπιμέλομαι ἐμαυτοῦ*	*πιστεύω* { *τῷ ἐμῷ πατρί* / *τῷ ἐμαυτοῦ πατρί*
σου	*σὺ ἐπιμέλῃ σεαυτοῦ (σαυτοῦ)*	*πιστεύεις* { *τῷ σῷ πατρί* / *τῷ σεαυτοῦ πατρί*
τοῦ παιδός	*ὁ παῖς ἐπιμέλεται ἑαυτοῦ (αὐτοῦ)*	*πιστεύει τῷ ἑαυτοῦ πατρί*

ἡμῶν	*ἡμεῖς ἐπιμελόμεθα ἡμῶν αὐτῶν*	*πιστεύομεν*	*τῷ ἡμετέρῳ πατρί* / *τῷ ἡμετέρῳ αὐτῶν πατρί*
ὑμῶν	*ὑμεῖς ἐπιμέλεσθε ὑμῶν αὐτῶν*	*πιστεύετε*	*τῷ ὑμετέρῳ πατρί* / *τῷ ὑμετέρῳ αὐτῶν πατρί*
τῶν παίδων	*οἱ παῖδες ἐπιμέλονται ἑαυτῶν (σφῶν αὐτῶν)*	*πιστεύουσι τῷ ἑαυτῶν πατρί*	

Ἐπιμελώμεθα	*ἀλλήλων*	starejme se o sebe navzájem!
Πιστεύετε	*ἀλλήλοις*	důvěřujte si navzájem!
Οἱ φίλοι στέργουσιν	*ἀλλήλους*	přátelé se navzájem mají rádi.

1. *Ἐγὼ μὲν ὑμᾶς διδάσκω, ὑμεῖς δὲ σπουδαίως μοι πείθεσθε!* 2. *Δεῖ ἡμᾶς μήποτε τοῦ ἡμετέρου αὐτῶν ἀγαθοῦ, ἀλλὰ τοῦ τῆς πατρίδος ἐπιμέλεσθαι.* 3. *Οὐ μόνον ὑμῖν αὐτοῖς, ἀλλὰ τῇ ὑμετέρᾳ πατρίδι μανθάνετε.* 4. *Μὴ ἄγαν πιστεύετε ὑμῖν αὐτοῖς· οἱ γὰρ ἑαυτοῖς (σφίσιν αὐτοῖς) πιστεύοντες πολλάκις σφάλλονται.* 5. *Μὴ βλάπτωμεν ἀλλήλους· βλάπτοντες γὰρ τοὺς ἡμετέρους φίλους βλάπτομεν ἡμᾶς αὐτούς.* 6. *Ἡ μήτηρ πρὸς τὴν θυγατέρα· „Ὦ θύγατερ, ὡς μετριώτατα περὶ σεαυτῆς (σαυτῆς) λέγε, μὴ ἄλλοι σε κακὴν νομίζωσιν.“* 7. *Αἱ μέλιτται ἐνίοτε ἀλλήλαις μάχονται καὶ τοῖς κέντροις ἀλλήλας τιτρώσκουσιν.* 8. *Τῶν μαχῶν αὕτη πικροτάτη ἐστίν, ἐν ᾗ οἱ τῆς αὐτῆς πατρίδος παῖδες ἀλλήλοις μάχονται.*

ἐγώ já
σύ ty
ἡμεῖς my
ὑμεῖς vy
μετά (předl. s gen.) s
ἐπι-μέλομαι (s gen.) starám se, pečuji
ἄγαν příliš
γάρ neboť, totiž
σφάλλω viklám, přivádím do záhuby
gen. *ἀλλήλων* (dat. *-οις*, *-αις*; ak. *-ους*, *-ας*, *-α*) sebe vespolek, navzájem
ἡ μέλιττα, ης včela
ἐνίοτε někdy, občas
τὸ κέντρον, ου bodec, žahadlo
τιτρώσκω zraňuji
πικρός 3 trpký
ὑπέρ (předl. s gen.) za *ὑπὲρ τῆς πατρίδος* za vlast

Srovnejte: paralela, hyperbola (*ὑπέρ* = též „nad“), hypertrofie, hyperkritický, centrum (z *κέντρον* = bod, střed).

Otázky a úkoly.

1. Převeďte do plurálu 6. větu! —2. Převeďte do singuláru 3. a 4. větu! — 3. Časujte: Παρεκελευόμην ἐμαυτῷ! —4. Jak vzniklo zájmeno vespolně? — 5. Časujte písemně ve všech osobách: μάχομαι ὑπὲρ τῆς ἐμῆς πατρίδος! Totéž s důrazem!

26.

III. deklinace: Kmeny nosově § 101, 102, 103, 104, 135.2.

	a) ὁ Ἕλλην	ὁ λειμών	b) ὁ ποιμήν	ὁ γείτων	c) ὁ κύων
	Hellen	louka	pastýř	soused	pes
km.	Ἑλλην-	λειμων-	ποιμεν-	γειτον-	κυν-
gen.	Ἕλλην-ος	λειμῶν-ος	ποιμέν-ος	γείτον-ος	κυν-ός
vok.	Ἕλλην	λειμών	ποιμήν	γεῖτον	κύον

Nom. je nesigmatický; *ποιμήν, γείτων* a *κύων* mají kmenovou samohl. zdlouženu; u *κύων* v ostatních pádech kromě vok. sg. kmenová samohl. zaniká.

Pamatujte: oxytona mají vok. = nom.
ostatní mají vok. = pouhému kmeni
(s přízvukem často zvráceným: *ὦ Ἄπολλον, εὐδαιμον*).

Dat. pl. (bez náhradního dloužení) vlivem ostatních pádů:

Ἕλλησι	λειμῶσι	ποιμέσι	γείτοσι	κυσί

Τάλας τάλανι φίλος. *Τάλανες τάλασι φίλοι.*

Μέλας černý, km. *μελαν-*, komparativ *μελάν-τερος*, superlativ *μελάν-τατος*.

1. Ὁ ἀγαθὸς γείτων τοῖς ἑαυτοῦ γείτοσιν οὔποτε κακὰ συμβουλεύει. 2. Χειμῶνος τὰ τέκνα τῇ χιόνι χαίρει. 3. Ὅμηρος Ἀγαμέμνονα ποιμένα λαῶν ὀνομάζει. 4. Ἡ τῶν Ἑλλήνων στρατιὰ ἐπίστευε Ξενοφῶντι, τῷ σώφρονι καὶ τοῦ πολέμου ἐμπείρῳ ἡγεμόνι. 5. Ὦ τάλαν Ἀγάμεμνον, τιμιώτατε τῆς Ἑλλάδος ἡγεμόνων, πικροτάτη ἦν σοι ἡ τοῦ βίου τελευτή! 6. Τοῖς ποιμέσιν οἱ κύνες πιστοί εἰσι φύλακες τῶν ἀγελῶν. 7. Ἐν τῷ τοῦ Ἀπόλλωνος ἱερῷ Πυθία ἐμαντεύετο. 8. Τοῖς Ἕλλησι ἐν τοῖς ἀγῶσι στέφανος ἐλαίας ἦν μισθὸς τῆς νίκης. 9. Ἡ μελαντάτη Ἅιδου οἰκία τοῖς σώφροσι φόβον οὐκ ἐμβάλλει. 10. Πολλάκις ἄνθρωπος βίον μὲν ἔχει εὐδαίμονα, τελευτὴν δὲ τάλαιναν.

ὁ Ἕλλην, ηνος Hellen
ὁ λειμών, ῶνος louka
ὁ ποιμήν, ένος pastýř
ὁ γείτων, γείτονος soused
ὁ, ἡ κύων, κυνός pes
ὁ Ἀπόλλων, ωνος Apollón, bůh věštění a básnictví
εὐ-δαίμων, εὔ-δαιμον blažený
τάλᾱς, τάλαινα, τάλαν ubohý
ὁ χειμών, ῶνος zima; *χειμῶνος* (gen. času) v zimě
ἡ χιών, χιόνος sníh
ὁ Ἀγαμέμνων, ονος Agamemnon, vůdce Řeků před Trójou
ὁ λᾱός, οῦ (i v pl.) lid
ὁ Ξενοφῶν, ῶντος Xenofón, řecký dějepisec
σώ-φρων, σῶ-φρον rozumný
ὁ ἡγεμών, όνος vůdce
ἡ ἀγέλη stádo
ὁ ἀγών, ῶνος zápas
μέλᾱς, μέλαινα, μέλαν černý
ὁ Ἅιδης, ου Hádes, bůh podsvětí
ἡ τελευτή, ῆς konec, smrt

Srovnejte: hellenismus, hellenista, hellenistický, hellenisovati, eudaimonismus, kynický, cynický, cynik, cynismus, agon, agonický, agónie, hegemonie, melancholie (*ἡ χολή* žluč), melancholický.

Otázky a úkoly.

1. Převeďte 1. a 6. větu do opačného čísla! — 2. Skloňujte písemně ὁ σώφρων γέρων! — 3. Skloňujte písemně ὁ μέλας κύων! — 4. Přeložte: „Vyhýbejte se špatným sousedům, abyste netrpěli škody (σφάλλομαι)!“

27.

Aktivní aorist sloves samohláskových a ražených.
§ 185, 195, 196.1.

Aorist slabý sigmatický je zakončen v 1. os. sg. ind. akt. **-σα.**

παιδεύ-ω km. *παιδευ-*

ἐ-παίδευ-σα vychoval jsem	*ἐ-παιδεύ-σα-μεν* vychovali jsme
ἐ-παίδευ-σα-ς	*ἐ-παιδεύ-σα-τε*
ἐ-παίδευ-σε(ν)	*ἐ-παίδευ-σα-ν*

	φυλάττω	*γράφω*	*πείθω*
km.	*φυλαχ-*	*γραφ-*	*πειθ-*
	ἐ-φύλαξα	*ἔ-γραψα*	*ἔ-πεισα*

Ind. aor. je vedl. čas, má augment. Pozorujte koncovky!

Konj. aor. se tvoří obdobně jako v praes. (srov. cv. 12):

παιδεύ-ω ať vychovávám *παιδεύ-σω* ať vychovám

Opt. aor. se tvoří obdobně jako v praes. (α + ι = **αι**; srov. cv. 13):

παιδεύ-οιμι kéž vychovávám *παιδεύ-σαιμι* kéž vychovám
2. os. sg. *παιδεύ-σαις* ale též *παιδεύ-σειας*
3. os. sg. *παιδεύ-σαι* ale též *παιδεύ-σειεν*
3. os. pl. *παιδεύ-σαιεν* ale též *παιδεύ-σειαν*

Koncové **αι** se pokládá v opt. pro přízvuk za *dlouhé*.

Impt. *παίδευ-σον* vychovej!
παιδευ-σάτω atd.

Inf. *παιδεῦ-σαι* vychovati

Part. *παιδεύ-σᾱς, -σαντος* vychovav, vychovavší
παιδεύ-σᾱσα, -σάσης } vychovavši, vychovavší
παιδεῦ-σᾰν, -σαντος }

(Skloněni part. viz § 99!)

1. *Ἐπιμέλεσθε, μὴ οἱ πολέμιοι τὴν ὑμετέραν πατρίδα βλάψωσιν.* 2. *Πιστεύσωμεν τοῖς ἐμπειροτέροις ἡμῶν!* 3. *Ἃ ἐκέλευσας, πάντα ἔπραξα.* 4. *Δαρεῖος μετὰ Καμβύσην τῶν Περσῶν ἐβασίλευσεν.* 5. *Εἴθε πάντες ἀεὶ τοῖς φίλοις εὖ συμβουλεύσαιεν (συμβουλεύσειαν).* 6. *Ἀντιγόνη τὸ νεκρὸν τοῦ ἀδελφοῦ σῶμα κρύφα ἔθαψεν.* 7. *Αἱ κακαὶ βουλαὶ οὐ μόνον τοῖς πιστεύσασιν, ἀλλὰ καὶ τοῖς βουλεύσασι βλαβερώταταί εἰσιν.* 8. *Χαλεπὸν τὸ πρᾶξαι, τὸ κελεῦσαι ῥᾴδιον.* 9. *Μήτε τὴν ἀλήθειαν στρέψῃς μήτε κρύψῃς· τὸν γὰρ μὴ ἀληθεύσαντα πάντες ἄνθρωποι ἄπιστον ἂν νομίσαιεν (νομίσειαν).* 10. *Κῦρος πορευόμενος διὰ Συρίας τὸν καλὸν παράδεισον ἐξέκοψεν.*

Ind. aor. vyjadřuje zpravidla minulý děj *dokonavý:*
ἐπαίδευσα vychoval jsem.

Označuje však také *děj minulý déle trvající*, z něhož vytýká:

1. **začátek:** aor. *následný (ingressivní): ἐβασίλευσεν* } stal se králem / ujal se vlády / začal panovat
2. **konec:** aor. *končící (effektivní:) ἐβασίλευσεν* dovládl

3. n. **děj shrnuje:** aor. *souborný (komplexivní): ἐβασίλευσεν* pobyl na trůně, kraloval.

Ve větách vzt. a časových se klade o *minulém ději předčasném.*

Konj., opt., impt. a inf. aor. nevyjadřují rozdíly časové, nýbrž **vidové.**

Part. aor. označuje děj dokonavý, *předčasný* ději řídícího slovesa.

Pozn. V. 10.: *ἐξέκοψεν* **dal** vykáceti.

κελεύω (s ak.) rozkazuji (někomu)
ὁ Δαρεῖος, ου Dareios, král perský
ὁ Καμβύσης, ου Kambyses, král perský
ἡ Ἀντιγόνη, ης Antigona, dcera Oidipova
νεκρός 3 mrtvý
κρύφα tajně
θάπτω pohřbívám
ἡ ἀλήθεια, ας pravda
μήτε — μήτε ani — ani
στρέφω otáčím, překrucuji
κρύπτω kryji, tajím, zakrývám
ἀληθεύω pravdu mluvím
ἡ Συρία, ας Sýrie
διά (s gen.) skrze
ὁ παράδεισος, ου obora, sad
ἐκ-κόπτω vysekávám, kácím

Srovnejte: nekrolog, nekromantie, nekrosis (na př. tkáně = odumření), nekrosní, krypta, kryptogamy (v botanice tajnosnubné rostliny; *ὁ γάμος* sňatek), kryptograf, kryptografie, kryptogram.

Otázky a úkoly.

1. Utvořte všechny tvary aor. od slovesa ἀποτρέπω! — 2. Ke kterým jmenným kmenům patří part. aor. a podle kterého vzoru se skloňuje? — 3. Skloňujte: ὁ κελεύσας στρατηγός! — 4. Časujte: οὐκ ἂν βλάψαιμι τὸν φίλον! — 5. Určete tvary a přeložte: πίστευσον, μὴ βλάψῃς, τάξειαν ἄν, φονεύσαντες, ἦσατε! — 6. Převeďte 7. větu do singuláru!

28.

1. Mediální aorist sloves samohláskových a ražených § 186, 195, 196.

2. Zájmeno tázací § 149, 150.

1. Ind.	*ἐ-παιδευ-σά-μην*	vychoval jsem si (se)
Konj.	*παιδεύ-σω-μαι*	ať si (se) vychovám
Opt.	*παιδευ-σαί-μην*	kéž si (se) vychovám
Impt.	*παίδευ-σαι*	vychovej si (se)!
Inf.	*παιδεύ-σα-σθαι*	vychovati si (se)
Part.	*παιδευ-σά-μενος*	vychovav si (se), vychovavší si (se)

Pozor při časování na tyto tvary:

2. os. sg. ind. *ἐ-παιδεύ-σω* (<**ἐ-παιδεύ-σα-σο*)
2. os. sg. opt. *παιδεύ-σαιο* (<* *παιδεύ-σαι-σο*)
2. os. sg. impt. *παίδευ-σαι.*

2. *Τίς;* 1. kdo? *τί;* 1. co?
2. který, která? 2. které?

Τίς ἐστιν ὅδε; Ὁ ἐμὸς φίλος.
Τίνος βουλῇ ὠφελιμωτάτη; Ἡ τοῦ σοφωτάτου.
Τίνι πειθώμεθα μάλιστα; Τῷ νόμῳ.
Τίνα θαυμάζομεν; Τοὺς τὴν πατρίδα ἐκ κινδύνων σώσαντας.

Τί νεώτερον; (Co nového?)
Τίνος ἕνεκα ταῦτα λέγω; Ἵνα ὑμᾶς πείσω.
Τίνι ἡ ψυχὴ τρέφεται; Τοῖς μαθήμασιν.
Τί μανθάνετε; Τὴν Ἑλληνικὴν γλῶτταν.

1. *Ὁ κῆρυξ πρὸς τοὺς Ἀθηναίους ἔλεξεν τάδε· „Τίς ἀγορεύειν βούλεται;“* 2. *Μετὰ δὲ τοῦτο οἱ Ἕλληνες τὴν θυσίαν, ἣν ηὔξαντο, παρεσκευάζοντο.* 3. *Ἀκούσωμεν, τί ἕκαστος ἡμῶν λέξει.* 4. *Οἱ Ἀθηναῖοι εἰς Μαραθῶνα ἐπὶ τοὺς Πέρσας ἐστρατεύσαντο.* 5. *Βούλευσαι πρὸ τοῦ ἔργου· τί γὰρ πικρότερον τῆς μετανοίας;* 6. *Ξέρξης καταστρεψόμενος τὴν Ἑλλάδα συνέλεξε τοὺς ἑαυτῷ πιστοτάτους, ἵνα αὐτοῖς συμβουλεύσαιτο.* 7. *Ἡ γλῶττα πολλάκις τοὺς ψευσαμένους ἔβλαψεν.* 8. *Ὦ πολῖτα, λέγε μοι· „Τίς σοι πατὴρ καὶ τίς πατρὸς πατὴρ καὶ τίς μήτηρ καὶ τίς μητρὸς πατήρ;“* 9. *Μὴ τούς σε θρέψαντας ψεύσαιο!* 10. *Κῦρος μεταπεμψάμενος τοὺς στρατηγοὺς πᾶσιν ὁπλίσασθαι καὶ ἀνδρείως πρὸς τοὺς πολεμίους ἀγωνίσασθαι παρεκελεύσατο.*

τίς kdo, který (-á)? *τί* co, které?
μάλιστα nejvíce, nejspíše
ἕνεκα (s gen., obyč. za slovem) pro, kvůli; *τίνος ἕνεκα;* proč?
τρέφω (*θρέψω, ἔθρεψα*) živím, vydržuji, vychovávám
τὸ μάθημα, ατος nauka, věda
Ἑλληνικός 3 hellenský, řecký
ὁ κῆρυξ, υκος hlasatel
ἀγορεύω mluvím (ve shromáždění), řečním
ἡ θυσία, ας oběť
εὔχομαι modlím se, slibuji
ὁ Μαραθών, ῶνος Marathón, krajina v sev.-vých. Attice
ἡ μετά-νοια, ας pozdní poznání, lítost
κατα-στρέφομαι podrobuji si

συλ-λέγω sbírám, shromažďuji, svolávám
ψεύδω klamu
ψεύδομαι lžu
μετα-πέμπομαι obesílám si, povolávám k sobě
ὁπλίζω ozbrojuji
ἀγωνίζομαι (*πρός* s ak.) závodím, zápasím (proti někomu)

Srovnejte: matematika, katastrofa (*ἡ καταστροφή* obrat, záhuba), katastrofismus, katastrofista, pseudonym (*τὸ ὄνομα, ατος* jméno), pseudonymní, pseudotika, agonistika, antagonismus.

Otázky a úkoly.

1. Časujte v indikativu: ἔτρεφόν σε καὶ ἔθρεψα! — 2. Taktéž časujte v indikativu media! — 3. Utvořte indikativ impf. a aor. od těchto sloves: ψεύδομαι a καταστρέφομαι a přeložte! — 4. Časujte písemně: μεταπεμψάμην ἄν! — 5. Rozlište tvary: παιδεῦσαι, παίδευσαι, παιδεύσαι! — 6. Přeložte a časujte: „Dobře jsem se poradil!"

29.

Slovesa stažená -έω: Aktivum praes., impf., fut., aor.

§ 188; 189.2; 193; 30, 31, 32.

Samohlásková slovesa, jejichž km. končí **-ε,** *φιλέ-ω* (miluji), stahují kmenové **ε** s následující samohl. **ε/ο** takto:

ε + ε = **ει**
ε + ο = **ου**
ε před dvojhláskou nebo dlouhou samohl. mizí.

O přízvuku pamatujte:

Má-li ostrý přízvuk **první** samohl., je výsledný přízvuk **průtažný;** má-li ostrý přízvuk **druhá** samohl., je výsledný přízvuk **ostrý.**

Opt. se časuje takto:

φιλοίην (< *φιλε-ο-ιη-ν*)	*φιλοῖμεν* (< *φιλέ-ο-ι-μεν*)
φιλοίης	*φιλοῖτε*
φιλοίη	*φιλοῖεν*

(V sg. je optativní příznak **-ιη**, v pl. — jako u *παιδεύω* — **-ι**.)

V ostatních časech se kmenové **ε** dlouží v **η**:

fut. *φιλή-σω*	(jako *παιδεύσω*)
aor. *ἐ-φίλη-σα*	(jako *ἐ-παίδευσα*).

1. *Ἃ μὲν ἀγαθά ἐστιν, ποιοῦμεν, ἃ δὲ βλαβερά, μὴ ποιῶμεν!* 2. *Μήποτε ποίει σεαυτὸν (σαυτὸν) δοῦλον ἡδονῆς!* 3. *Δεῖ ἕκαστον ἄνδρα τάξαι, ὅπου μάλιστ' ἂν ὠφελοίη.* 4. *Εἴθε πάντες οἱ πολῖται τὴν πατρίδα, τὴν ἑαυτῶν μητέρα, φιλοῖεν!* 5. *Τὸν σώφρονα ἄνδρα πάντες φιλούντων!* 6. *Εἴθε ὁμολογήσειεν ὁ ἀδικήσας, ὅτι ἠδίκησεν.* 7. *Τοὺς προδότας ἐμισοῦμεν καὶ μισοῦμεν καὶ μισήσομεν.* 8. *Καὶ κυβερνήτης ἀγαθὸς ἐνίοτε ναυαγεῖ καὶ ἀνὴρ σπουδαῖος ἀτυχεῖ.* 9. *Εἰ οἱ γείτονες δυστυχοῦντες ἀλλήλους ὠφέλουν, καὶ εὐτυχοῦντες ἀλλήλους φιλῶσιν!* 10. *Ἡμεῖς μὲν ἐβοηθοῦμεν ὑμῖν, ὑμεῖς δ' ἡμῖν οὐκ ἐβοηθεῖτε· ἄλλοι ταῦτα ἐποίουν.* 11. *Διὰ τίνα αἰτίαν οἱ Ἕλληνες καὶ οἱ βάρβαροι ἐπολέμησαν ἀλλήλοις;*

φιλῶ, φιλεῖν miluji, mám rád
ποιῶ, ποιεῖν činím, dělám
ὅπου kde
ὠφελῶ, εῖν (s ak.) prospívám
ὁμο-λογῶ, εῖν přiznávám
ἀ-δικῶ, εῖν (s ak.) křivdím
ὁ προ-δότης, -δότου zrádce
μισῶ, εῖν nenávidím
ὁ κυβερνήτης, -νήτου kormidelník
ναυ-αγῶ, εῖν ztroskotávám
ἀ-τυχῶ, εῖν / *δυσ-τυχῶ, εῖν* jsem nešťasten, mám nezdar
εὐ-τυχῶ, εῖν jsem šťasten
βοηθῶ, εῖν (s dat.) pomáhám
διά (předl. s ak.) pro
ἡ αἰτία, ας příčina, důvod
πολεμῶ, εῖν (s dat.) válčím s . . .

Srovnejte: filanthrop, slavjanofil, filharmonie, misandra, misandrie, misandrický, misanthrop, misanthropie, misogyn, misogynie, misomus (odpůrce Mus, umění; srov. Blahoslavova Filipika proti misomusům, t. j. odpůrcům vyššího vzdělání v Jednotě bratrské).

Otázky a úkoly.

1. Určete a přeložte: φίλει, φιλεῖ, ἐφίλει! — 2. Kterou platnost a jaké významy má tvar ὠφελεῖτε? — 3. Časujte v ind. praes., fut., impf. a aor. akt.: εὖ ποιῶ! — 4. Převeďte 3. a 10. větu do opačného čísla! — 5. Vyjádřete 2. větu dokonavým slovesem! — 6. Přeložte a časujte v praes. i aor.: „Kéž prospívám své vlasti!"

30.

Slovesa stažená -έω: Medium a passivum praes., impf., fut., aor.

Zájmeno nepřímo tázací. — Věty obavné.

§ 188, 189.2, 193; 149; 380.

		med.	*pass.*
Ind.	*φιλοῦμαι*	miluji se	jsem milován
Konj.	*φιλῶμαι*	ať se miluji	ať jsem milován
Opt.	*φιλοίμην*	kéž se miluji	kéž jsem milován
Inf.	*φιλεῖσθαι*	milovati se	býti milován
Part.	*φιλούμενος*	miluje se	jsa milován

ὅστις 1. kdo 2. který **ἥτις** která **ὅτι (ὅ, τι)** 1. co 2. které

Δεῖ ἐπιμελεῖσθαι

ἑκάστου ἀνδρός, ὅστις
ἑκάστης γυναικός, ἥτις } *νοσεῖ*
ἑκάστου τέκνου, ὅ, τι

πάντων τῶν ἀνδρῶν, οἵτινες
πασῶν τῶν γυναικῶν, αἵτινες } *νοσοῦσιν*
πάντων τῶν τέκνων, ἅτινα (ἄττα) νοσεῖ.

1. *Φιλοῦντες φιλούμεθα, μισοῦντες μισούμεθα.* 2. *Ὅδε ὁ νόμος ἦν τοῖς Λακεδαιμονίοις· πρὸ τῶν μαχῶν τὰς κεφαλὰς ἐκοσμοῦντο.* 3. *Ὦ ἑταῖροι, τοῖς μὲν ἀδικουμένοις βοηθεῖτε, τοὺς δ' ἀδικοῦντας τιμωρεῖσθε!* 4. *Μιμοῦ τὰ σεμνὰ καὶ καλά· αἰσχρὸν μιμεῖσθαι τοὺς κακοὺς τρόπους.* 5. *Τὰ μὲν καλὰ θαυμάζεται, τὰ δὲ πονηρὰ μισεῖται.* 6. *Τοὺς προδότας πάντες ἐσθλοὶ μισήσουσι καὶ τιμωρήσονται.* 7. *Πρὸς ταῦτα ῥᾳδίως ἀπολογούμεθα καὶ ἀπολογησόμεθα.* 8. *Μάλα ἐφοβούμεθα, μὴ οἱ πολέμιοι πάσης τῆς ἡμετέρας χώρας κρατήσειαν.* 9. *Κῦρος ὁ νεώτερος οὐκ ἐδίωκεν τοὺς φεύγοντας, ἀλλ'* (= *ἀλλὰ*) *ἐπεμελεῖτο, ὅ,τι ποιήσει ὁ ἀδελφὸς αὐτοῦ.* 10. *Λέγε μοι, ὦ μαθητά, οὕστινας στρατηγοὺς οἱ παλαιοὶ ἀνδρειοτάτους ἡγήσαντο.* 11. *Ἡγοῦ μάλιστα σεαυτῷ πρέπειν αἰσχύνην, δικαιοσύνην, σωφροσύνην!*

ἐπι-μελοῦμαι, εῖσθαι (s gen.) starám se, pečuji, dbám
νοσῶ, εῖν jsem nemocen
οἱ Λακεδαιμόνιοι, ων Lakedaimoňané
κοσμῶ, εῖν zdobím
ἡ κεφαλή, ῆς hlava
ὁ ἑταῖρος, ου druh, přítel
ἀ-δικοῦμαι, εῖσθαι trpím (snáším) křivdu

τιμωροῦμαι, εἴσθαι (s ak.) trestám, mstím se
μιμοῦμαι, εἴσθαι napodobuji
σεμνός 3 vznešený, úctyhodný
αἰσχρός 3 ošklivý, hanebný
ὁ τρόπος, ου mrav, povaha
πονηρός 3 špatný, zlý, podlý
ἐσθλός 3 šlechetný, řádný
ἀπο-λογοῦμαι, εἴσθαι hájím **se**, bráním se
μάλα velmi, velice
φοβοῦμαι, εἴσθαι bojím **se**
κρατῶ, εἶν (s gen.) zmocňuji **se**
ὁ μαθητής, οῦ žák
ἡγοῦμαι, εἴσθαι (s dat.) vedu; (s dvojím ak.) pokládám, uznávám; domnívám se, mám za to
πρέπω sluším
ἡ αἰσχύνη, ης stud
ἡ δικαιοσύνη, ης spravedlnost
ἡ σωφροσύνη, ης rozumnost, uměřenost, skromnost

Φοβοῦμαι, **μή** *σε ἀδικήσω.* Bojím se, } **abych** ti **ne**ukřivdil.
Ἐφοβούμην, **μή** *σε ἀδικήσαιμι.* Bál jsem se, } **že** ti ukřivdím.

Φοβοῦμαι, **μὴ οὐ** *σε ὠφελήσω.* Bojím se, } **že** ti **ne**prospěji. (**abych** ti prospěl).

Věty obavné: 1. spojky **μή** { aby ne / že } **μὴ οὐ** { že ne / (aby) }
2. způsoby jako ve větách účelových.

Srovnejte: mim, mimika, mimik, mimický, mimus, pantomima, mimikry, mimikrový, apologie, apologet, apologetika, apologetický, autokrat, plutokrat.

Otázky a úkoly.

1. Převeďte do passiva 5. a 7. větu z cvičení 29! — 2. Časujte písemně: ἀπολογοίμην ἄν καὶ ἀπολογήσαίμην ἄν! — 3. Kolikerý význam má tvar ἡγοῦ? — 4. Určete tvary: ἡγεῖται, ἡγεῖτο, ἡγῆται, ἡγοῖτο! — 5. Přeložte a časujte: „Ať napodobuji všechno úctyhodné!"

31.

III. deklinace: Kmeny sykavé § 109, 110.1.

Τὸ γένος rod

km.: **γενεσ-**
sg. gen. **γένεσ-ος* > *γένε-ος* > **γένους**
dat. **γένεσ-ι* > *γένε-ι* > **γένει**

pl. nom., ak., vok.	*γένεσ-α	> γένε-α	> γένη
gen.	*γενέσ-ων	> γενέ-ων	> γενῶν
dat.	*γένεσ-σιν	—	> γένεσιν

1. *Κέρδος πονηρὸν ζημίαν ἀεὶ φέρει.* 2. *Μάχεσθαι δεῖ τὸν δῆμον ὑπὲρ τοῦ νόμου ὡς ὑπὲρ τοῦ τείχους.* 3. *Τῷ μὲν ξίφει φθείρεται τὸ σῶμα, τῷ δὲ ψεύδει ἡ ψυχή.* 4. *Ψεῦδος μισεῖ πᾶς σοφὸς καὶ χρήσιμος.* 5. *Ὦ τάλαν γένος Ἀγαμέμνονος, τί τῶν κακῶν σε ἔφυγεν;* 6. *Ἦν ποτε χρόνος, ὅτε θεοὶ μὲν ἦσαν, θνητὰ δὲ γένη οὐκ ἦν.* 7. *Οἱ Ἕλληνες μετὰ τὸν Κύρου θάνατον Ξενοφῶντος βουλεύσαντος διὰ τῶν ὀρῶν πρὸς τὴν θάλατταν ἐπορεύοντο.* 8. *Οἱ ὁπλῖται κράνεσι καὶ θώραξι καὶ κνημῖσι καὶ ἀσπίσι τὰ σώματα ἐφύλαττον, δόρασι δὲ καὶ ξίφεσιν ἐμάχοντο.* 9. *Ἀνταλκίδας τοὺς νέους τείχη τῆς Σπάρτης ὠνόμασεν.* 10. *Τῶν τῆς ψυχῆς παθῶν ἡ σοφία φάρμακόν ἐστιν.* 11. *Οὐ ψεύδεσιν, ἀλλ' ἀληθείᾳ φρονίμους πείσομεν ἄνδρας.* 12. *Φθείρουσιν ἤθη χρήσθ'* (= *χρηστὰ*) *ὁμιλίαι κακαί.*

τὸ κέρδος, κέρδους zisk
ἡ ζημίᾱ, ας trest
ὡς jako
τὸ τεῖχος, τείχους zeď, hradba
τὸ ξίφος, ους meč
φθείρω hubím, n. čím
τὸ ψεῦδος, ψεύδους lež
ὅτε když, kdy
τὸ γένος, ους rod, pokolení
βουλεύω radím
τὸ ὄρος, ους hora, pohoří
ὁ ὁπλῖτης, ου těžkooděnec
τὸ κράνος, ους přilba
ὁ θώρᾱξ, ᾱκος krunýř
ἡ κνημῖς, ῖδος holeň, holínka, chránítko na holeň
ὁ Ἀνταλκίδας, ου Antalkidas, Sparťan
ἡ Σπάρτη, ης Sparta, ms. v Lakónice
τὸ πάθος, ους utrpení, bolest, choroba, vzrušení
τὸ ἦθος, ἤθους zvyk, obyčej, mrav
χρηστός 3 užitečný, hodný, řádný, poctivý
ἡ ὁμῑλίᾱ, ας společnost, styk, obcování, přátelství

Pozn. V. 12. *χρήσθ'* = *χρηστά*: o přízvuku při odsouvání § 34.3b.

Srovnejte: pathos, pathetik, pathetický, pathetičnost, pathologie, psychopath, psychopathický, psychopathologie, apatie, apatický, sympatie, sympatický, ethika, ethický, ethos (mravní základ, ráz), chrestomatie, homilie (besedy), homiletika (nauka o kazatelském umění), homilet (kazatel), homiletický.

Otázky a úkoly.

1. Převeďte do plurálu 1., 3. a 4. větu! — 2. Skloňujte písemně: τὸ πονηρὸν κέρδος a τὸ σῶφρον ἦθος! *— 3. Převeďte do singuláru 8. a 12. větu! — 4. S kterými slovesy souvisí* τὸ ψεῦδος a τὸ γένος? *— 5. Která byla obranná a útočná zbroj řeckého těžkooděnce podle 8. věty?*

32.

III. deklinace: Maskulina kmenů sykavých a adjektiva.

§ 111, 112, 113.2; 135.3.

Mask. kmenů sykavých jsou **vlastní jména:**
ὁ *Δημοσθένης* Démosthenes, km. **Δημοσθενεσ-.**

V nom. je kmenová samohl. zdloužena.

Ak.: **Δημοσθενεσ-α* > *Δημοσθένε-α* > *Δημοσθένη*. (Ale také *Δημοσθένην* podle ὁ *πολίτης*.)

Vok. = pouhému kmeni s přízvukem co nejdále od konce:
ὦ Δημόσθενες!

Vl. jména **-κλῆς** jsou z pův. **-κλέης** a i kmenové **ε** stahují v 1., 3. a 5. pádě:

Ἡρακλῆς πᾶσι γνώριμός ἐστιν.
Τὰ Ἡρακλέους ἔργα εὐκλεᾶ ἐστιν.
Ἡρακλεῖ Ἥρα ἡ θεὰ ἐχθρὰ ἦν.
Ἡρακλέᾱ οἱ παλαιοὶ μάλα ἐθαύμαζον.
Ὦ τάλαν Ἡράκλεις, ὡς δυστυχὴς ἦν τοῦ σοῦ βίου τελευτή!

Adjektiva sem patřící jsou většinou oxytona:
mask., f. *εὐγενής*, neutr. *εὐγενές* urozený, ušlechtilý; km. **εὐγενεσ-.**

V ak. pl. je *εὐγενεῖς* jako v nom.

Adjektiva mající před **-ης** samohlásku, stahují **-έα** v **ᾱ** (nikoliv v **-ῆ**): *ὑγι-ής* zdravý — *ὑγιᾶ* (z **ὑγιεσα* > *ὑγιέα*).

Stupňování: komparativ: km. + *τερος*; superlativ: km. + *ταῖος*:
εὐγενέσ-τερος *εὐγενέσ-τατος*

Podle *εὐγενής* se stupňují i adjektiva vzoru *εὐδαίμων*:
εὐδαιμον-έσ-τερος *εὐδαιμον-έσ-τατος* (§ 136.2a).

1. *Δημοσθένης ἀληθῶς εὐκλεέστερος ἦν τῶν ἄλλων Ἑλληνικῶν ῥητόρων.* 2. *Θεμιστοκλέους πείσαντος οἱ Ἀθηναῖοι τὰ μακρὰ τείχη ἐποιήσαντο.* 3. *Δημοσθένει αἱ τοῦ Φιλίππου ἐπὶ τὴν Ἑλλάδα ἐπιβουλαὶ σαφέσταται ἦσαν.* 4. *Οἱ Ἀθηναῖοι Περικλέα κεραυνὸν φέρειν ἔλεγον ἐπὶ τῇ γλώττῃ.* 5. *Οἱ φίλοι Σωκράτη (Σωκράτην) μιάλα ἔπειθον· „Ὦ Σώκρατες, φύγε!“ Ἀλλ' ἐκεῖνος οὐκ ἐπείθετο αὐτοῖς.* 6. *Τοῦ εὐτυχοῦς ἀνδρὸς πάντες εἰσὶ συγγενεῖς.* 7. *Τοῖς μὲν ψευδέσι λόγοις οἱ πονηροὶ χαίρουσιν, τοῖς δ' ἀληθέσιν οἱ ἀγαθοί.* 8. *Τὰ μὲν τῶν ἐγκρατῶν σώματα ὑγιᾶ ἐστιν, τὰ δὲ τῶν ἀκρατῶν νοσεῖ.* 9. *Εὐγενοῦς νεανίου ἐστὶν ἀεὶ ἀληθῆ λέγειν.* 10. *Ταῖς ἀτυχίαις οἱ ἄνθρωποι σωφρονέστεροι τῶν ἄλλων γίγνονται.*

ὁ Ἡρακλῆς, -κλέους Hérakles, řecký héros
γνώριμος 3. 2 známý
εὐ-κλεής, ές slavný
ἐχθρός 3 nepřátelský, nepřízniv
ὡς jak (při zvolání)
δυσ-τυχής 2 nešťastný
ὁ Δημοσθένης, -σθένους Démosthenes, nejslavnější řecký řečník
ἀληθής, ές pravdivý
ὁ Θεμιστοκλῆς, -κλέους Themistokles, athénský státník v 5. stol. před n. l.
ὁ Φίλιππος ου Filippos, král makedonský
ἡ ἐπι-βουλη, ῆς úklad
σαφής, σαφές jasný, zřejmý, zřetelný
ὁ Περικλῆς, -κλέους Perikles, athénský státník v 5. stol. před n. l.
ὁ κεραυνός, οῦ hrom, blesk
ἐπί (s dat.) na (na ot. kde?)
ὁ Σωκράτης, ους Sokrates, řecký filosof
εὐ-τυχής, ές šťastný
συγ-γενής, ές příbuzný
ψευδής, ές lživý
ἐγ-κρατής, ές mající moc (v rukou), zdrženlivý, střídmý
ὑγιής, ές zdravý
ἀ-κρατής, ές nemírný, nestřídmý
εὐ-γενής, ές urozený, ušlechtilý
ἡ ἀ-τυχία, ας neštěstí, nehoda

Srovnejte: hygiena, hygienik, hygienický, hygieničnost, **eugenika,** eugenik, eugenický.

Otázky a úkoly.

1. Převeďte do singuláru 7. větu! — 2. Skloňujte: ὁ ψευδὴς λόγος! — 3. Jaký je rozdíl mezi ψευδέσι a ψεύδεσι? — 4. Stupňujte: σώφρων καὶ εὐτυχής! — 5. Utvořte adverbium od ἐγκρατής a stupňujte je! — 6. S kte-

rými substantivy nebo slovesy souvisí adjektiva: ἀληθής, εὐτυχής, συγγενής, ψευδής, ἐγκρατής, ἀκρατής, εὐγενής? — 7. Utvořte vokativy k vlastním jménům: Δημοσθένης, Θεμιστοκλῆς, Περικλῆς!

33.

1. Slovesa stažená -όω: Praes., impf., fut., aor. — 2. Stažená substantiva a dvojvýchodná adjektiva II. deklinace.

§ 188, 189.3, 190, 193; 78, 79, 136,2.b.

1. Slovesa stažená **-όω**, *μισθό-ω* (najímám), stahují kmenové **ο** s následující samohl. **ε/ο** takto:

ο + *ο, ε, ου* = **ου**
ο + *ω, η* = **ω**
ο + *οι, ει, η* = **οι**

O přízvuku platí totéž co u sloves *-έω* (cv. 29). Inf. *μισθοῦν*.

V ostatních časech se kmenové **ο** dlouží v **ω**:

fut. *μισθώ-σω* aor. *ἐ-μίσθω-σα*.

2. U některých substantiv a dvojvýchodných adjektiv II. deklinace dochází k podobnému stahování samohlásek jako u sloves *-όω*:

ὁ νοῦς (rozum) < *νόο-ς*
τὸ ὀστοῦν (kost) < *ὀστέο-ν*
εὔνους, εὔνουν (dobromyslný) < *εὔνοο-ς, εὔνοο-ν*. (Nom. pl. neutra *εὔνοα*.)

Nesložená jména jsou vždy perispómena, složená mají ve všech pádech přízvuk jako v nominativě.

Stupňování: *εὔνους* *εὐνούσ-τερος* *εὐνούσ-τατος*

1. *Οἱ νόμοι οὐ μόνον ζημιοῦσι τοὺς ἀδικοῦντας, ἀλλὰ καὶ ὠφελοῦσι τοὺς δικαίους.* 2. *Κῦρος ὁ νεώτερος στρατευσόμενος ἐπὶ τὸν ἀδελφὸν ἐμισθώσατο καὶ τοὺς Ἕλληνικοὺς ξένους.* 3. *Ζηλοῖ γείτονα γείτων!* 4. *Ζήλου μάλιστα τούτους, οἳ τῇ πατρίδι εὐνούστατοι ἦσαν.* 5. *Οἱ κακόνοι μισθοῦσι ἑαυτούς, ἐφ' (= ἐπὶ) ἃ ὁ χρηστὸς οὔποτ' ἂν ἑαυτὸν μισθοίη.* 6. *Ὁ νόμος ἦν ποτε· „Ὁ κλέπτης θανάτῳ ζημιούσθω!“* 7. *Ὁ νοῦς κυβερνήτης ἐστὶ τοῦ βίου πλοῦ.* 8. *Νῦν τί σοι ἐν νῷ ἐστι ποιῆσαι;* 9. *Οἱ ἀγαθοὶ πολῖται προσέχουσι νοῦν τῷ κοινῷ ἀγαθῷ.*

10. *Οἱ Φοίνικες ἐπὶ τοὺς πλοῦς ἑαυτοὺς ἐμίσθουν· ἐμπειρότατοι γὰρ τῶν πλῶν ἦσαν, οἱ δὲ πλοῖ αὐτῶν ἐθαυμάζοντο.* 11. *Ἀσθενῆ ἐστι τὰ τῶν τέκνων ὀστᾶ.*

ζημιῶ, οῦν trestám
μισθῶ, οῦν najímám, pronajímám
ὁ ξένος, ου žoldnéř, námezdný voják
ζηλῶ, οῦν horlivě následuji, horlivě napodobuji
εὔ-νους, εὔ-νουν dobromyslný, nakloněný, oddaný
κακό-νους, κακό-νουν zlomyslný, protivný, zlo zamýšlející
ὁ κλέπτης, ου zloděj
ὁ νοῦς, νοῦ rozum
ὁ πλοῦς, πλοῦ plavba
ἐν νῷ μοί ἐστι mám v úmyslu
προσ-έχω νοῦν (s dat.) věnuji pozornost, pozorně si všímám
κοινός 3 společný, obecný
οἱ Φοίνῑκες, νῑ́κων Féničané
ἀ-σθενής, ές slabý
τὸ ὀστοῦν, ὀστοῦ kost

Srovnejte: zélóta, zélotický, zélotismus, kleptomanie, noetika, noetický, asthenie, asthenický, neurasthenie (*τὸ νεῦρον* šňůra, tětiva, šlacha, nerv), neurasthenický, osteolog, osteologie, osteogenese, osteogenní, osteometrie (*μετρῶ, εῖν* měřiti), osteoklast (*κλάω* lámu).

Otázky a úkoly.

1. Tvořte vedle sebe nestažené a stažené tvary všech způsobů v 2. os. sg. praes. a impf. akt. i pass. od slovesa ζημιῶ! — 2. Převeďte do singuláru 1. větu a do plurálu 3. větu! — 3. Časujte písemně: ἠδίκησα, ζημιοῦμαι! — 4. Utvořte od sloves ζημιῶ, μισθῶ, ζηλῶ imperativy á participia praes. akt. i med. (pass.)! — 5. Vysvětlete tvary: ζημιοῖ, ζημιοῖο, ζημιῶται, ζημιῶσι, ζημιοῦσιν! — 6. Skloňujte písemně: ὁ εὐτυχὴς πλοῦς, τὸ ἀσθενὲς ὀστοῦν, ὁ κακόνους κλέπτης!

34.

1. Slovesa stažená -άω: praes., impf., fut., aor. — 2. Stažená substantiva I. deklinace. — 3. Zájmeno neurčité τις, τι.

§ 188, 189.1; 190, 193; 68, 69; 149, 151.

1. Slovesa **-άω**, *τῑμά-ω* (ctím), stahují kmenové **α** s následující samohl. **ε/ο** takto:

$$\alpha + \varepsilon, \eta = \bar{\alpha}$$
$$\alpha + o, \omega, ou = \omega$$

ι, kde následuje **ει, οι, η,** se podepisuje (**ι** subscriptum):

τῑμά-εις = τῑμᾷς.

Inf. *τῑμᾶν* (< **τιμά-εν*).

V ostatních časech se kmenové **α** dlouží v **η**:

fut. *τῑμή-σω* aor. *ἐ-τῑ́μη-σα.*

2. *Ἀθηνᾶ καὶ Ἑρμῆς θεοὶ Ὀλύμπιοι ἦσαν.*
Ἀθηνᾶς καὶ Ἑρμοῦ ἱερὰ ἔνδοξα ἦν ἐν τῇ Ἑλλάδι.
Ἀθηνᾷ καὶ Ἑρμῇ καλὰ δῶρα ἐθύετο.
Ἀθηνᾶν καὶ Ἑρμῆν οἱ πολῖται ἐτίμων εὐχόμενοι·
Ὦ Ἀθηνᾶ, ὦ Ἑρμῆ, σῴζετε τὴν ἡμετέραν πατρίδα!

3. Zájm. neurčité **τις, τι** je *přiklonné* (mimo druhý tvar nom. a ak. pl. neutr. *ἄττα*); skloňuje se jako tázací *τίς, τί*.

1. *Κέρδος μή σε νικάτω!* 2. *Ὑπὸ τῶν παλαιῶν Ἑλλήνων Ἑρμῆς μάλα ἐτιμᾶτο· ἔλεγον γὰρ Ἑρμῆν τὰς ψυχὰς εἰς Ἅιδου ἄγειν.* 3. *Εἰ ὑπὸ τῶν φίλων ἐθέλεις ἀγαπᾶσθαι, δεῖ σε τοὺς φίλους εὐεργετῆσαι.* 4. *Εἰ ἀληθῶς καὶ τοὺς πατέρας καὶ τὰς μητέρας καὶ τοὺς συγγενεῖς καὶ τὴν πατρίδα καὶ τὸν δῆμον αὐτῆς ἀγαπᾶτε, πάντα τολμήσετε, ἵνα ἡ εἰρήνη ἀεὶ νικᾷ καὶ νικήσῃ.* 5. *Ξέρξης εἰς τὴν Εὐρώπην καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν ἀνάριθμον στράτευμα ἦγεν, ἀλλ' οἱ Ἕλληνες ἐνίκησαν αὐτό.* 6. *Μὴ ταῦτα πρᾶττε, ἃ τοῖς ἄλλοις πράττουσιν ἂν ἐπιτιμῴης.* 7. *Οἱ Ἀθηναῖοι πασῶν τῶν θεῶν Ἀθηνᾶν μάλιστα ἐτίμων· αἱ γὰρ Ἀθῆναι τῇ Ἀθηνᾷ φίλταται ἦσαν.* 8. *Δικαιοσύνη τοῖς ὑπὲρ τῆς πατρίδος τελευτήσασι σαφῶς δόξαν παρεσκεύασεν.* 9. *Ἐρωτήσατε, ὦ μαθηταί, εἰ ὑμῖν τι ἀσαφές ἐστιν!* 10. *Ἐν ὁδοῖς καὶ ἀγοραῖς οἱ Ἑρμαῖ ἱδρύοντο.*

ὁ Ἑρμῆς, οῦ Hermes, posel bohů
οἱ Ἑρμαῖ, ῶν hermovky, sloupy s poprsím pův. snad Hermovým, pak i jiných bohů i lidí
Ὀλύμπιος 3 olympský (od hory Olympu)
ἔν-δοξος 2 slavný, prosluly
θύω obětuji
νῑκῶ, ᾶν vítězím, přemáhám
τῑμῶ, ᾶν ctím
εἰς Ἅιδου = εἰς Ἅιδου οἰκίαν
ἀγαπῶ, ᾶν rád vidím, miluji, mám rád, vážím si
εὐ-εργετῶ, εῖν (s ak.) prokazuji dobrodiní
τολμῶ, ᾶν odvažuji se (*πάντα* všeho)
ἡ Εὐρώπη, ης Evropa

ἡ γῆ, γῆς (pouze v sg.) země
κατά (předl. s ak.) po
κατὰ γῆν po zemi, po souši
ἀν-άριθμος 2 nesčíslný, nesmírný
τὸ στράτευμα, ατος vojsko
ἐπι-τιμῶ, ᾶν (s dat. os. a ak. věci) vytýkám (někomu něco)
αἱ Ἀθῆναι, ῶν Athény
τελευτῶ, ᾶν končím; (*τὸν βίον*) končím život, umírám, dokonávám
ἐρωτῶ, ᾶν táži se
τις, τι někdo, něco
ἀ-σαφής, ές nejasný, neurčitý
ἡ ἀγορά, ᾶς tržiště, náměstí
ἱδρύω stavím

Srovnejte: herma, hermovka, agapé, agapy (náboženské hody lásky), geolog, geologie, geograf, geografie, geodesie, geometr, geometrie, Nikefor, agora, agorafobie (chorobný strach z velkého prostranství).

Otázky a úkoly.

1. Převeďte do plurálu 1. a 6. větu a do singuláru 9. větu! — 2. Časujte písemně: Ὁν ἀγαπῶ, τοῦτον ζηλῶ! — 3. Skloňujte písemně: ἡ καλὴ γῆ (pouze v sg.), τὸ νικῶν στράτευμα! — 4. Určete tvary: νίκα, νικᾷ, νικώντων, νικῶντος, νικᾶτο, νικᾷο, νικᾴη, νικῶσιν! — 5. Ke kterým slovesům -άω můžete uvésti stejnokmenná substantiva?

35.

1. Stažená slovesa -άω, dloužící kmenové ă v ᾱ.
2. Stažená trojvýchodná adjektiva I. a II. deklinace.

§ 192.1; 80, 81; 136.2b.

1.	*θεᾰ́-ομαι* dívám se	*θεᾱ́-σομαι*	*ἐ-θεᾱ-σάμην*
	ἰᾰ́-ομαι léčím	*ἰᾱ́-σομαι*	*ἰᾱ-σάμην*
	θηρᾰ́-ω lovím	*θηρᾱ́-σω*	*ἐ-θήρᾱ-σα*

Kmenové ᾰ, před nímž předchází hláska ε, ι, ρ, dlouží se v ostatních časech v ᾱ (α *pūrum*! Srov. u α-kmenů *θεᾱ́, οἰκίᾱ, χώρᾱ!*).

2.	mask.	*χρυσοῦς* (< *χρυσέος*) zlatý	pl.	*χρυσοῖ*	(< *χρυσέοι*)
	f.	*χρυσῆ* (< *χρυσέα*) zlatá	pl.	*χρυσαῖ*	(< *χρυσέαι*)
		ἀργυρᾶ (< *ἀργυρέα*) stříbrná			
	neutr.	*χρυσοῦν* (< *χρυσέον*) zlaté	pl.	*χρυσᾶ*	(< *χρυσέα*)
	mask.	*ἁπλοῦς* (< *ἁπλόος*) jednoduchý	pl.	*ἁπλοῖ*	(< *ἁπλόοι*)
	f.	*ἁπλῆ* (< *ἁπλόη*) jednoduchá	pl.	*ἁπλαῖ*	(< *ἁπλόαι*)
	neutr.	*ἁπλοῦν* (< *ἁπλόον*) jednoduché	pl.	*ἁπλᾶ*	(< *ἁπλόα*)

1. *Νόσον μὲν ἰᾶται τὸ φάρμακον, ὀργὴν δ' ὁ λόγος.* 2. *Ὁ Κῦρος πρὸς τοὺς παῖδας τάδε ἔλεγεν· „Ὦ παῖδες, ὡς ἐφλυαροῦμεν, ὅτε τὰ ἐν τῷ παραδείσῳ θηρία ἐθηρῶμεν· τὰ δὲ ἐν τοῖς ὄρεσι καὶ λειμῶσι θηρία ὡς καλὰ ἐφαίνετο!“* 3. *Ξέρξης πρὶν ἐπὶ τὴν Ἑλλάδα στρατεύσασθαι, πᾶν τὸ ἑαυτοῦ στράτευμα ἐθεᾶτο.* 4. *Ἐν τῷ ἐν Δελφοῖς ἱερῷ χρυσοῖ καὶ ἀργυροῖ κρατῆρες ἦσαν.* 5. *Τὰ τῶν ὁπλιτῶν κράνη ἦν χαλκᾶ.* 6. *Πρὸς τοῖς νεκρῶν ὀστοῖς ἀργυροῦς στεφάνους καὶ χρυσοῦς κόσμους καὶ σιδηρᾶ ὅπλα εὑρίσκομεν.* 7. *Ἄνοια πολλάκις διπλῆς καὶ τριπλῆς ἀτυχίας αἰτία ἐστίν.* 8. *Τοῖς Λακεδαιμονίοις οὔτε χρυσᾶ οὔτε ἀργυρᾶ, ἀλλὰ σιδηρᾶ νομίσματα ἦν.* 9. *Ἁπλᾶ ἐστι τῆς ἀληθείας ἔπη.* 10. *Ἡ τῶν Λακεδαιμονίων δίαιτα ἦν ἁπλουστάτη.* 11. *Οἱ ἰατροί, ὅταν ἄνθρωποι νοσῶσιν, τότε ἰῶνται αὐτούς.*

ἡ νόσος, ου nemoc
ἰῶμαι, ἰᾶσθαι léčím
ἡ ὀργή, ῆς hněv
φλυᾰρῶ, εῖν hraji si jen, dělám marné věci (vl. tlachám)
τὸ θηρίον, ου zvíře
θηρῶ, ᾶν lovím
φαίνομαι jevím se, zdám se
πρίν dříve než
θεῶμαι, θεᾶσθαι dívám se, přehlížím
οἱ Δελφοί, ῶν Delfy
χρῡσοῦς, χρῡσῆ, χρῡσοῦν zlatý
ἀργυροῦς, ἀργυρᾶ, ἀργυροῦν stříbrný
ὁ κρατήρ, ῆρος měsidlo, nádoba
χαλκοῦς, χαλκῆ, χαλκοῦν kovový, měděný
πρός (s dat.) u
σιδηροῦς, σιδηρᾶ, σιδηροῦν železný
τὸ ὅπλον, ου zbraň
εὑρίσκω nacházím
ἡ ἄ-νοια, ἀνοίας nerozum, pošetilost
δι-πλοῦς, διπλῆ, διπλοῦν dvojitý, dvojnásobný
τρι-πλοῦς, τριπλῆ, τριπλοῦν trojitý, trojnásobný
τὸ νόμισμα, ατος nařízení; peníz, peníze
ἁ-πλοῦς, ἁπλῆ, ἁπλοῦν jednoduchý
τὸ ἔπος, ἔπους slovo, řeč
ἡ δίαιτα, διαίτης život, způsob života, živobytí, strava
ὁ ἰᾰτρός, οῦ lékař
ὅταν (= *ὅτε* + *ἄν*) kdykoliv

Vazba spojky **πρίν** (§ 389):

1. *πρίν* (dříve než) + inf. po *kladné* větě řídící;
2. *πρίν* (dokud ne; až)
   a) + ind. (nejčastěji aor.) o ději skutečném
   b) + konj. očekávací s *ἄν* o ději očekávaném
   } po *záporné* větě řídící.

Ὅταν (**μή**) kdykoliv + konj. praes. n. aor., v závětí ind. praes.: o přítomném ději opětovaném (§ 388.3a).

Pozn. V. 2. *Κῦρος*: zde Kýros Starší jako hošík na dvoře dědově.

Srovnejte: kráter (jícen sopky a j. prohlubina pro podobnost tvaru), chalkografie, numismatika, dieta, dietetický, dietetika, dietní, pediatrie (*παῖς, ἰατρός*), fenomén, nekrolog, heuristika.

Otázky a úkoly.

1. Převeďte do singuláru 5. větu! — 2. Skloňujte písemně: ὁ χρυσοῦς κρατήρ, ἡ σιδηρᾶ μάχαιρα, τὸ ἁπλοῦν ἔπος! — 3. Jaký je rozdíl mezi ἰῶ a ἰῶ? — 4. Časujte písemně: ἐθεώμην, οὐ θεάσομαι! — 5. Znáte εὔνους, κακόνους, ἄνοια; jak je tvořeno a co znamená ἄνους?

36.

Opakování III.

Περὶ Μίδου.

Μίδας, ὃς Φρυγῶν ἐβασίλευεν, Σειληνόν, τὸν Διονύσου τρόφον, λαμπρότατά ποτε δέξασθαι λέγεται. Διόνυσος δὲ Μίδαν μεταπεμψάμενος ἠρώτησε· „Τί ἄν σοι χαρισαίμην;“ Ὁ δὲ Μίδας ἔλεγεν τάδε· „Ποίησόν με πάντα ταῖς ἐμαῖς χερσὶν εἰς χρυσὸν μεταμορφοῦντα!“ Ταῦτ' ἀκούσας ὁ θεὸς μὲν ἐθαύμασε τοῦτο τὸ εὖχος, ἀλλ' ἐποίησεν, ἃ Μίδας ἠῦξατο. Οὗτος πρῶτον μὲν τῷ τιμιωτάτῳ δώρῳ ἔχαιρεν· μετεμόρφου γὰρ πάντα, ὅτων ἅψαιτο, εἰς χρυσόν. Ἀλλ' ὅτε καὶ σῖτον καὶ ὕδωρ καὶ οἶνον χρυσᾶ ἐποίει, ἐνταῦθα λιμῷ καὶ δίψῃ ἰσχυρότατα ἀνιώμενος ἀτυχῶς ἐβόα· „Ὦ φίλτατε Διόνυσε, ἀπάλλαξόν με τοῦ χαλεπωτάτου δώρου τούτου!“ Καὶ ὁ θεὸς εὔνους ἦν.

ὁ Μίδας, ου Midas, mythický král frýžský
ὁ Φρύξ, Φρυγός Frýg, obyvatel Frýgie v M. Asii
ὁ Σειληνός, οῦ Seilenos (Silén), pěstoun Dionýsův
ὁ τρόφος, ου pěstoun, vychovatel
ὁ Διόνῦσος, ου Dionýsos, bůh přírodní vegetace, zvl. dárce vinné révy
δέχομαι (*δέξομαι, ἐδεξάμην*) přijímám

χαρίζομαι (*χαριοῦμαι, ἐχαρισάμην τινί τι*) zavděčuji se (někomu něčím)
μετα-μορφῶ, οῦν (*-μορφώσω*) přeměňuji
τὸ εὖχος, εὔχους přání
εὔχομαι (*εὔξομαι, ηὐξάμην*) přeji si, modlím se
πρῶτον nejprve
ἅπτομαι (*ἅψομαι, ἡψάμην τινός*) dotýkám se (něčeho)
ὁ οἶνος, οἴνου víno
ἐνταῦθα tu, tehdy
ὁ λῑμός, οῦ hlad
ἀνιῶ, ᾶν (*ἀνιάσω, ἠνίᾱσα*) trápím, trýzním, mučím
ἀ-τυχής 2 nešťastný
βοῶ, βοᾶν (*βοήσομαι, ἐβόησα*) volám, křičím
ἀπ-αλλάττω (*-αλλάξω, -ήλλαξά τινά τινος*) zbavuji, zprošťuji (někoho něčeho)

Pozn. ὅτων ἅψαιτο: o jednodobém opětování v minulosti: „čehokoliv se dotkl." § 390.5. — *σῖτον . . . χρυσᾶ*: k několika věcným předmětům různého rodu bývá doplněk v pl. neutra.

Srovnejte: atrofie, metamorfosa, metamorfismus, frygická čapka, frygická tónina.

Otázky a úkoly.

1. Povězte obsah báje a vyložte, jaké z ní plyne mravní naučení! — 2. Vyberte superlativy a vyložte jejich tvoření! — 3. Skloňujte písemně: τοῦτο τὸ εὖχος! — 4. Která jsou v článku slovesa **-άω** *a jak se liší v tvoření ostatních časů? — 5. Vyberte slovesa* **-έω** *a* **-όω**! *Utvořte od nich impf., fut. a aorist! — 6. Která jsou tu slovesa hrdelná, retná a zubná? Určete jejich tvary a vyložte, jak tvoří fut. a aorist!*

37.

III. deklinace: kmeny -ι, -υ § 114, 115.

Ἡ ἡμετέρα πόλι-ς δημοτική ἐστιν.
Ἐκ τῆς πόλεως τοὺς νέους εἰς ὄρη ἔπεμψαν.
Ὁ ἐμὸς φίλος ἐν ἄλλῃ πόλει οἰκεῖ.
Εἰς ἄλλην πόλιν ἐπορεύοντο.

Αἱ Ἑλληνικαὶ πόλεις δημοτικαὶ ἦσαν.
Ἐκ τῶν πόλεων τοὺς νέους εἰς ὄρη ἔπεμψαν.
Οἱ ἐμοὶ φίλοι ἐν ἄλλαις πόλεσιν οἰκοῦσιν.
Εἰς ἄλλας πόλεις ἐπορεύοντο.

Ἡ Ἐρινῦ-ς τὸν Ὀρέστην ἐδίωκεν.
Ἡ τῆς Ἐρινῦ-ος ὄψις ἦν φοβερά.
Τῇ Ἐρινῦ-ι μάχεσθαι χαλεπὸν ἦν.
Τὴν Ἐρινῦ-ν οἱ κακοὶ οὐκ ἔφυγον.

Αἱ Ἐρινῦ-ες τὸν Ὀρέστην ἐδίωκον.
Αἱ τῶν Ἐρινῦ-ων ὄψεις ἦσαν φοβεραί.
Ταῖς Ἐρινύ-σι μάχεσθαι χαλεπὸν ἦν.
Τὰς Ἐρινῦ-ς οἱ κακοὶ οὐκ ἔφυγον.

1. *Ῥήτωρ τις ἔλεγεν, ὅτι οἱ νόμοι εἰσὶ ψυχὴ τῆς πόλεως.* 2. *Οὐ μόνον τὰς χεῖρας δεῖ καθαρὰς ἔχειν, ἀλλὰ καὶ τὰς ὄψεις.* 3. *Οἱ σοφοὶ κρίνουσιν τοὺς ἀνθρώπους οὐκ ἐκ τῶν λόγων, ἀλλ' ἐκ τῶν πράξεων.* 4. *Πλοῦτος ὕβριν τῶν πολιτῶν τίκτει καὶ στάσεις ἐν ταῖς πόλεσιν.* 5. *Μάτην οἱ φίλοι τὸν Σωκράτη ἐκέλευον φυγεῖν ἐξ ἄστεως.* 6. *Οἱ βάρβαροι καὶ πελέκεσιν ἐμάχοντο.* 7. *Ἦν ποτε χρόνος, ὅτε οἱ ἡμέτεροι πρόγονοι πολλοὺς ἰχθῦς ἐν ποταμοῖς ἐθήρων.*

ἡ πόλις, εως město, stát
δημοτικός 3 demokratický
πέμπω posílám
οἰκῶ, εῖν bydlím
ἡ Ἐρινύς, ύος Erinye, bohyně pomsty
ἡ ὄψις, εως pohled, zrak
καθαρός 3 čistý, bez viny
κρίνω (ἐκ) posuzuji (podle)
ἡ πρᾶξις, εως skutek, jednání
ὁ πλοῦτος, ου bohatství
ἡ ὕβρις, εως zpupnost
ἡ στάσις, εως rozbroj
μάτην marně
τὸ ἄστυ, εως (podle *πόλις*, pl. *ἄστη*) město
ὁ πέλεκυς, εως (podle *πόλις*) sekera
ὁ ἰχθύς, ύος ryba

Srovnejte: poliklinika, praxe, praktický, autopsie, plutokrat, plutokracie, Kateřina (*Καθαρίνη*), katharse, demotický, demokratický, hybridní (smíšený, zrůdný), hybrid (míšenec, kříženec).

Otázky a úkoly.

1. Skloňujte písemně ἡ καλὴ πρᾶξις! — 2. V kterých pádech substantiv podle vzoru πόλις se vyskytují zvláštní přízvuky? Vysvětlete je! — 3. Převeďte 2. a 3. větu do sg.! — 4. Vyjádřete 1. větu vazbou infinitivní!

38.

Adjektiva III. deklinace -ύς, -εῖα, -ύ § 114, 116; **adverbia** § 141, 142.

Ὁ ταχ-ὺς ἵππος ἀνθρώπῳ χρήσιμός ἐστιν.
Ἡδ-έος λόγου τοῦ φίλου ἑκόντες ἀκούομεν.
Ἐν βραχ-εῖ χρόνῳ πάντα ἐποιήσατε.
Βραδ-ὺν ἵππον ἔχεις.

Οἱ ταχ-εῖς ἵπποι ἀνθρώποις χρήσιμοί εἰσιν.
Ἡδ-έων λόγων τῶν φίλων ἑκόντες ἀκούομεν.
Οἱ βάρβαροι ἐμάχοντο ὀξ-έσι πελέκεσιν.
Βραδ-εῖς ἵππους ἔχετε.

γλυκύς, -εῖα, -ύ	*γλυκύ-τερος, -ᾱ, -ον*	*γλυκύ-τατος, -η, -ον*
sladký	sladší	nejsladší
βραδ-έως	*βραδύ-τερον*	*βραδύ-τατα*
pomalu	pomaleji	nejpomaleji

1. *Μὴ πιστεύετε γλυκέσιν τῶν κολάκων λόγοις.* 2. *Βραχὺς μὲν ὁ βίος, ἡ δὲ τέχνη μακρά.* 3. *Τῶν ἀγαθῶν ἕνεκα δεῖ πράττειν τὰ ἡδέα, ἀλλ' οὐ τῶν ἡδέων ἕνεκα τὰ ἀγαθά.* 4. *Ἀρχὴ ἥμισυ παντός.* 5. *Ἀνάγκη καὶ τοὺς βραδυτάτους ταχέως τρέχειν διδάσκει.* 6. *Γλώττης πληγὴ ὀξυτέρα τῆς τοῦ ξίφους.*

ταχύς, εῖα, ύ rychlý
ἡδύς, εῖα, ύ příjemný
βραχύς, εῖα, ύ krátký
βραδύς, εῖα, ύ pomalý
ὀξύς, εῖα, ύ ostrý

ἡ τέχνη, ης umění
ἥμισυς, εια, υ poloviční
ἡ ἀνάγκη, ης nutnost
ἡ πληγή, ῆς rána

Srovnejte: tachymetr, tachygraf, tachygrafie, brachylogie, oxytonon, oxymoron, technika, technický, technologie, hemisféra.

Otázky a úkoly.

1. Převeďte 1. a 3. větu do sg.! — 2. Utvořte komparativ a superlativ k βραχύς, βραδύς, ὀξύς! — 3. Utvořte od těchto adjektiv adverbium v positivu, komparativu a superlativu! — 4. Které substantivum doplníte k τῆς v 6. větě?

39.

Attické futurum, futurum sloves -ίζω a futurum sloves plynných. § 192.3; 198; 204, 205, 206.

Několik sloves *-έω* neprodlužuje ve fut. kmen. samohlásku *ε* a vysouvá *-σ-*, takže ind. fut. = ind. praes.: *τελῶ, εἷς, εἶ* končím = *τελῶ, εἷς, εἶ* ukončím. (Toto fut. se nazývá attické § 84).

Futurum *-ῶ, εἶν* mají též slovesa:

1. **zubná -ίζω** (jen s kmenem aspoň dvojslabičným):

κομίζω — κομιῶ, εἷς
χαρίζομαι — χαριοῦμαι, ῇ

2. **plynná** (všechna); u těch však přistupuje *-έω* (stahující se v *ῶ*) ke kmeni prostému (základnímu), nikoliv ke kmeni praesentnímu, v němž příponným *-j-* došlo k změnám:

φαίν-ω	—	*	*φαν-jω*	— fut.	*φαν-ῶ, εἷς*
φθείρ-ω	—	*	*φθερ-jω*	— ,,	*φθερ-ῶ, εἷς*
ἀγγέλλ-ω	—	*	*ἀγγελ-jω*	— ,,	*ἀγγελ-ῶ, εἷς*
κρῑ́ν-ω	—	*	*κρῐ̆ν-jω*	— ,,	*κρῐ̆ν-ῶ, εἷς*
ἀμῦ́ν-ω	—	*	*ἀμῦν-jω*	— ,,	*ἀμῦν-ῶ, εἷς*

1. *Λέγοντός τινος, ὅτι πολλοί εἰσιν οἱ πολέμιοι, Σπαρτιάτης τις, „Καλόν," ἔφη, „πολλοὺς γὰρ ἀποκτενοῦμεν."* 2. *Ὁ τῶν Ἀθηναίων ἐφήβων ὅρκος ἦν ὅδε· „Οὐ καταισχυνῶ τὰ ὅπλα, ἀμυνοῦμαι δ' ὑπὲρ τῆς πατρίδος καὶ τοῖς νόμοις αὐτῆς πείσομαι."* 3. *Ἀεὶ λέγων τἀληθὲς οὐ σφαλῇ ποτε.* 4. *Χάριν κομιεῖσθε, εἰ τοῖς ἀνθρώποις μὴ μόνον λόγοις, ἀλλὰ καὶ ἔργοις ἀμυνεῖτε.* 5. *Ὁ ἀγαθὸς ἀνὴρ φίλον ἀτυχοῦντα θαρρυνεῖ.*

πολλοί, αί, ά mnozí, četní
ὁ Σπαρτιάτης, ου Sparťan
ἔφη pravil
ἀπο-κτείνω zabíjím
ὁ ὅρκος, ου přísaha
ὁ ἔφηβος, ου jinoch
κατ-αισχῡ́νω zahanbuji, zneucťuji
ἀμῡ́νω s dat. pomáhám
ἀμῡ́νομαι s ak. bráním se komu
ἀμύνομαι ὑπὲρ τῆς πατρίδος bránním vlast
κομίζω nesu, dopravuji
χάριν κομίζομαι získávám vděčnost
θαρρῡ́νω dodávám odvahy, posiluji

Participium bez členu je doplňkové a lze je rozvést ve větu časovou, důvodovou, podmínkovou, přípustkovou a j. (part. doplňkové příslovečné § 408); věta 3. a 5. — *Τἀληθές* = *τὸ ἀληθές*; věta 3.

Srovnejte: eféb.

Otázky a úkoly.

1. Časujte písemně futurum sloves κομίζω a χαρίζομαι! — 2. Vysvětlete gen. λέγοντός τινος v 1. větě! — 3. Co doplníte ke καλόν v 1. větě? — 4. Co je předmětem k πείσομαι v 2. větě? — 5. V jakou větu rozvedete participium λέγων v 3. větě a ἀτυχοῦντα v 5. větě? — 6. Proč je ve 4. větě záporka μή?

40.

III. deklinace: Kmeny -ευ, -αυ, -ου § 117, 118, 119.

Ὁ γον-εὺς πολλὰ ἀγαθὰ ὑμῖν παρέχει.
Παρὰ τοῦ γον-έως οἱ παῖδες πολλὰ ἀγαθὰ ἐδέξαντο.
Τῷ γον-εῖ πειθώμεθα!
Τὸν γον-έᾱ φιλῶμεν!

Οἱ γον-εῖς πολλὰ ἀγαθὰ ὑμῖν παρέχουσιν.
Παρὰ τῶν γον-έων οἱ παῖδες πολλὰ ἀγαθὰ ἐδέξαντο.
Τοῖς γον-εῦσι πειθώμεθα!
Τοὺς γον-έᾱς φιλῶμεν!

Ἥδε ἡ ναῦς κομιεῖ ἡμᾶς εἰς Ἀθήνας.
Οἱ ναῦται ἐκείνης τῆς νεὼς ἡμᾶς ἔσωσαν.
Οἱ λῃσταὶ ἅμα τῇ νηὶ ἔφυγον.
Τὴν τῶν Περσῶν ναῦν οἱ Ἕλληνες εἰς φυγὴν ἐτρέψαντο.

Αἵδε αἱ νῆες κομιοῦσιν ἡμᾶς εἰς Ἀθήνας.
Οἱ ναῦται ἐκείνων τῶν νεῶν ἡμᾶς ἔσωσαν.
Οἱ λῃσταὶ ἅμα ταῖς ναυσὶν ἔφυγον.
Τὰς τῶν Περσῶν ναῦς οἱ Ἕλληνες εἰς φυγὴν ἐτρέψαντο.

1. *Τοῖς γονεῦσιν ἀεὶ χαριούμεθα.* 2. *Παρ' Ὁμήρῳ οἱ βασιλεῖς δικασταί εἰσι καὶ ἱερεῖς.* 3. *Αἱ πόλεις πολλάκις ἀπεικάζονται ταῖς ναυσίν·*

ὡς γὰρ οἱ κυβερνῆται τὰς ναῦς, οὕτως οἱ ἄρχοντες τὰς πόλεις εὐθύνουσιν. 4. *Ταχεῖς ἵπποι ἔσωσαν τοὺς ἱππέας.* 5. *Βόες τοῖς γεωργοῖς χρήσιμοί εἰσιν.*

ὁ γονεύς, έως rodič, otec
παρ-έχω poskytuji
παρά (s gen.) od, (s dat.) u
ἡ ναῦς, νεώς loď
ὁ ναύτης, ου lodník, plavec
ὁ λῃστής, οῦ lupič
ἅμα s dat. zároveň s
εἰς φυγὴν ἐτρεψάμην (*τρέπω*) obrátil jsem na útěk
ὁ βασιλεύς, έως král
ὁ δικαστής, οῦ soudce
ὁ ἱερεύς, έως kněz
ἀπ-εικάζω připodobňuji, přirovnávám
ὁ ἄρχων, οντος představený
εὐθύνω řídím
ὁ ἱππεύς, έως jezdec
ὁ γεωργός, οῦ rolník, zemědělec
ὁ, ἡ βοῦς, βοός býk, kráva

Srovnejte: Vasil, hierarchie, ikona (*ἡ εἰκών, όνος* obraz), bazilišek.

Otázky a úkoly.

1. Skloňujte písemně ὁ ταχὺς ἱππεύς! — 2. Proč je v gen. sg. slova ναῦς přízvuk ostrý? — 3. Najděte ve větách attické futurum (futurum -ῶ, -εῖς)! — 4. U kterých substantiv je v 2. větě člen a u kterých není? Proč?

41.

1. μέγας, μεγάλη, μέγα — πολύς, πολλή, πολύ § 128; 2. komparativ -ίων, superlativ -ιστος § 137.

1. *Ἀλέξανδρος ὁ μέγας νέος ἐτελεύτησεν.*
Ἡ Ἀλεξάνδρου τοῦ μεγάλου στρατιὰ οὐκ ἦν μεγάλη.
Ἀλεξάνδρῳ τῷ μεγάλῳ οἱ Μακεδόνες προθύμως ἐπείθοντο.
Ἀλέξανδρον τὸν μέγαν οὐχ οἱ πολέμιοι, ἀλλ' αὐτοῦ ἡ ἀκράτεια ἐνίκησεν.

2. Několik adjektiv tvoří komparativ *-ίων, -ίων, -ῖον* a superlativ *-ιστος, -ίστη, -ιστον*; tyto přípony přistupují přímo ke kořeni: *αἰσχ-ρός, αἰσχ-ίων, αἴσχ-ιστος.*

sg.	*μείζ-ων*	*κίνδῡνος*	sg.	*μεῖζ-ον*	*ἀγαθόν*
	— ονος	*—ου*		*— ονος*	*—οῦ*
	— ονι	*—ῳ*		*— ονι*	*—ῷ*
	— ονα (ω)	*—ον*		*— ον*	*—όν*

pl.	— ονες (ους)	—οι	pl.	— ονα (ω)	—ά
	— όνων	—ων		— όνων	—ῶν
	— οσι(ν)	—οις		— οσι(ν)	—οῖς
	— ονας (ους)	—ους		— ονα (ω)	—ά

